## XXIII

αἶγά με τὴν εὔθηλον, ὅσων ἐκένωσεν ἀμολγεύς
οὔθατα πασάων πουλυγαλακτοτάτην,
γευσάμενος μελιηδὲς ἐπεί τ' ἐφράσσατο πῖαρ
Καῖσαρ κὴν νηυσὶν σύμπλοον εἰργάσατο.
ἥξω δ' αὐτίκα που καὶ ἐς ἀστέρας· ᾧ γὰρ ἐπέσχον
μαζὸν ἐμόν, μείων οὐδ' ὅσον Αἰγιόχου.

## XXIV

ψιττακὸς ὁ βροτόγηρυς ἀφεὶς λυγοτευχέα κύρτον
ἤλυθεν ἐς δρυμοὺς ἀνθοφυεῖ πτέρυγι,
αἰεὶ δ' ἐκμελετῶν ἀσπάσμασι Καίσαρα κλεινόν
οὐδ' ἀν' ὄρη λήθην ἤγαγεν οὐνόματος·
ἔδραμε δ' ὠκυδίδακτος ἅπας οἰωνὸς ἐρίζων
τίς φθῆναι δύναται δαίμονι "χαῖρ'" ἐνέπειν.
Ὀρφεὺς θῆρας ἔπεισεν ἐν οὔρεσιν, ἐς σὲ δέ, Καῖσαρ,
νῦν ἀκέλευστος ἅπας ὄρνις ἀνακρέκεται.

## XXV

ἄγχουροι μεγάλαι κόσμου χθόνες, ἃς διὰ Νεῖλος
πιμπλάμενος μελάνων τέμνει ἀπ' Αἰθιόπων,
ἀμφότεραι βασιλῆας ἐκοινώσασθε γάμοισιν,
ἓν γένος Αἰγύπτου καὶ Λιβύης θέμεναι.
ἐκ πατέρων εἴη παισὶν πάλι τοῖσιν ἀνάκτων
ἔμπεδον ἠπείροις σκῆπτρον ἐπ' ἀμφοτέραις.